# 07 IANUARIE

# SLUJBA SF.PROROC IOAN BOTEZĂTORUL

ATENA,2016


www.byzarticon.gr

www.tezaurliturgic.ro

*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

Δρος Χαραλάμπους Μ. Μπούσια
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

## ΤΟΥ ΓΕΝΟΜΕΝΟΥ ΕΝ ΧΙΩ ΘΑΥΜΑΤΟΣ ΚΑΤΑ ΤΩΝ ΕΠΙΒΟΥΛΩΝ ΑΓΑΡΗΝΩΝ ΥΠΟ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΠΡΟΦΗΤΟΥ ΠΡΟΔΡΟΜΟΥ ΚΑΙ ΒΑΠΤΙΣΤΟΥ ΙΩΑΝΝΟΥ

*

*

* * * * *

*

*

Ἀθῆναι 2016

www.tezaurliturgic.ro

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

## ΤΟΥ ΓΕΝΟΜΕΝΟΥ ΕΝ ΧΙΩ ΘΑΥΜΑΤΟΣ
## ΚΑΤΑ ΤΩΝ ΕΠΙΒΟΥΛΩΝ ΑΓΑΡΗΝΩΝ
## ΥΠΟ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΠΡΟΦΗΤΟΥ
## ΠΡΟΔΡΟΜΟΥ ΚΑΙ ΒΑΠΤΙΣΤΟΥ ΙΩΑΝΝΟΥ

Ψαλλομένη τῇ ΚΣΤ´ Μαΐου.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια·**

**Ἦχος α´. Πανεύφημοι Μάρτυρες.**

Προφῆτα σεπτὲ καὶ Βαπτιστά,
Ἰωάννη Πρόδρομε,
Υἱοῦ καὶ Λόγου τοῦ Κτίσαντος,
τοῦ Πανοικτίρμονος,
Παλαιᾶς καὶ Νέας
Διαθήκης ἔνθεον
μεσότοιχον καὶ Μάρτυς τῆς πίστεως
ἡμῶν στεῤῥότατε,
τοῦ Δεσπότου δοῦλε Ἅγιε,
εὐλογίαν
τὴν σὴν πέμψον ἅπασι.

Ἡ χάρις σου, θεῖε Βαπτιστά,
Ἰωάννη Πρόδρομε,
Ναὸν ἐν Χίῳ φερώνυμον
σοῦ, ἀγγελόβιε,
ἐκ τῶν ἐπιβούλων
τῆς μανίας ἔσωσε
τῆς Ἄγαρ ἀπογόνων, οὕς, πάντιμε
Μάρτυς, ἀπέκτεινε

θαυμαστῶς πρὸς ἀγαλλίασιν
εὐσεβούντων,
ἐκθύμως ὑμνούντων σε.

Ἀπώλεσας Ἄγαρ τοὺς υἱοὺς
ἐν τῇ Χίῳ, Πρόδρομε,
Ναόν σου θεῖον εἰς τέμενος
βέβηλον θέλοντας,
Βαπτιστὰ Κυρίου,
Ἰωάννη πάντιμε
κακῶς μεταποιῆσαι σῇ χάριτι
ὅτε συνάξεως
τῆς αὐτῶν πύργου ἐκρήμνισας
στέγας σθένους
πρὸς θείου σου ἔνδειξιν.

Θαυμάζοντες, Πρόδρομε Χριστοῦ,
Ἰωάννη πάντιμε,
τὴν παῤῥησίαν τῶν λόγων σου
καὶ τὸν διέλεγχον
ἀσελγοῦς Ἡρῴδου
εὐσεβῶν οἱ σύλλογοι
Προφήτην ὡς θεόπνουν, Ἀπόστολον
καὶ Καλλιμάρτυρα
εὐφημοῦμεν καὶ ἀγῶνάς σου
ἐν ἐρήμῳ
σεπτοὺς μεγαλύνομεν.

Σαφῶς τολμητίας ἀσεβεῖς
ἐν τῆς Χίου, Πρόδρομε,
τῇ Ἀτσικῇ οἶκον θεῖόν σου
θέλοντας τέμενος
ἀναδεῖξαι, μάκαρ,
πρὸς Θεοῦ ἐξύβρισιν
τοῦ μόνου ἀληθοῦς Παντοκράτορος,
τάχος ἀπώλεσας
δύο μόνον σώσας, ἔνθεε,
τῇ θελήσει
αὐτῶν ἀντιλέγοντας.

Χαράν, εὐφροσύνην ἀκραιφνῆ,
Ἰωάννη Πρόδρομε,

καὶ ἀγαλλίασιν ἔδωκας
Χίοις τιμῶσί σε,
ὅτε ἀπογόνους
τοὺς στυγνοὺς ἀπώλεσας
τῆς Ἄγαρ βεβηλῶσαι τοὺς θέλοντας
οἶκον σῆς χάριτος
καὶ αὐτὸν ἀπίστων τέμενος
καταδεῖξαι,
ἰσάγγελε ἄνθρωπε.

**Δόξα. Ἦχος πλ. β΄.**

Ὁ πολίσας τὴν ἔρημον καὶ κηρύξας τῷ κόσμῳ μετάνοιαν,
ὁ μέγιστος ὑπάρχων ἐν γεννητοῖς γυναικῶν, χαριτώνυμε,
τοῖς ἐν δουλείᾳ ζοφώδει εἰς Ἄγαρ υἱοὺς εὐσεβεῖς Χίους
ἐφώτισας ἀστραπαῖς τῆς σῆς χάριτος, Ἰωάννη Πρόδρομε·
Ἐπεμβὰς γὰρ ταχέως οὐρανόθεν
τοὺς ἐπιβούλους Ναοῦ σου ἀπώλεσας
καὶ αὐτὸν ἔδειξας οἶκον προστασίας σου,
ὁ ἀεὶ προστατεύων τοὺς σὲ μακαρίζοντας.

**Καὶ νῦν. Θεοτοκίον.** Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,...

**Εἴσοδος.** Φῶς ἱλαρόν. **Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα·**

**Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.**
**(Κεφ. μ΄ 1, μα΄ 17-18, με΄ 8, μη΄ 20-21, νδ΄ 1)**

Παρακαλεῖτε, παρακαλεῖτε τὸν λαόν μου, λέγει ὁ Θεός. Ἱερεῖς, λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ, παρακαλέσατε αὐτήν· ὅτι ἐπλήσθη ἡ ταπείνωσις αὐτῆς, λέλυται αὐτῆς ἡ ἁμαρτία· ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς. Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν. Πᾶσα φάραγξ πληρωθήσεται καὶ πᾶν ὄρος ταπεινωθήσεται καὶ ἔσται πάντα τὰ σκολιὰ εἰς εὐθεῖαν καὶ ἡ τραχεῖα εἰς ὁδοὺς λείας. Καὶ ὀφθήσεται ἡ δόξα Κυρίου καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ, ὅτι Κύριος ἐλάλησε. Φωνὴ λέγοντος· βόησον· καὶ εἶπα· τί βοήσω; πᾶσα σὰρξ χόρτος καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. Ἐξηράνθη ὁ χόρτος καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε, τὸ δὲ ῥῆμα τοῦ Θεοῦ ἡμῶν μένει εἰς τὸν

αἰῶνα. Ἐπ’ ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σιών· ἐν ἰσχύϊ τὴν φωνήν σου ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ· ὑψώσατε, μὴ φοβεῖσθε· εἰπὸν ταῖς πόλεσιν Ἰούδα· ἰδοὺ ὁ Θεὸς ὑμῶν. Καὶ ἀγαλλιάσονται οἱ πτωχοὶ καὶ οἱ ἐνδεεῖς· ζητήσουσι γὰρ ὕδωρ καὶ οὐκ ἔσται· ἡ γλῶσσα αὐτῶν ἀπὸ τῆς δίψης ἐξηράνθη· Ἐγὼ Κύριος ὁ Θεός, ἐγὼ ἐπακούσομαι ὁ Θεὸς Ἰσραὴλ καὶ οὐκ ἐγκαταλείψω αὐτούς. Ἀλλὰ ἀνοίξω ἀπὸ τῶν ὀρέων ποταμοὺς καὶ ἐν μέσῳ πεδίων πηγάς· ποιήσω τὴν ἔρημον εἰς ἕλη ὑδάτων καὶ τὴν διψῶσαν γῆν ἐν ὑδραγωγοῖς· θήσω εἰς τὴν ἄνυδρον γῆν κέδρον καὶ πύξον καὶ μυρσίνην καὶ κυπάρισσον καὶ λεύκην, ἵνα ἴδωσι καὶ γνῶσι καὶ ἐννοηθῶσι καὶ ἐπιστῶνται ἅμα, ὅτι χεὶρ Κυρίου ἐποίησε ταῦτα καὶ ὁ ἅγιος τοῦ Ἰσραὴλ κατέδειξεν. Εὐφρανθήτω ὁ οὐρανὸς ἄνωθεν καὶ αἱ νεφέλαι ῥανάτωσαν δικαιοσύνην· ἀνατειλάτω ἡ γῆ καὶ βλαστησάτω ἔλεος καὶ δικαιοσύνην ἀνατειλάτω ἅμα· Ἐγώ εἰμι Κύριος, ὁ κτίσας σε. Ἔξελθε ἐκ Βαβυλῶνος φεύγων ἀπὸ τῶν Χαλδαίων· φωνὴν εὐφροσύνης ἀναγγείλατε καὶ ἀκουστὸν γενέσθω τοῦτο, ἀπαγγείλατε ἕως ἐσχάτου τῆς γῆς, λέγετε· ἐῤῥύσατο Κύριος τὸν δοῦλον αὐτοῦ Ἰακώβ. Καὶ ἐὰν διψήσωσι, δι’ ἐρήμου ἄξει αὐτούς, ὕδωρ ἐκ πέτρας ἐξάξει αὐτοῖς· σχισθήσεται πέτρα καὶ ῥυήσεται ὕδωρ καὶ πίεται ὁ λαός μου. Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. ια´ 23- ιβ´ 1).**

**Κ**ύριε, ἐλεεῖς πάντας, ὅτι πάντα δύνασαι καὶ παρορᾷς ἁμαρτήματα ἀνθρώπων εἰς μετάνοιαν. Ἀγαπᾷς γὰρ τὰ ὄντα πάντα καὶ οὐδὲν βδελύσσῃ, ὧν ἐποίησας· οὐδὲ γὰρ ἂν μισῶν τι κατεσκεύασας. Πῶς δὲ ἔμεινεν ἄν τι, εἰ μὴ σὺ ἠθέλησας ἢ τὸ μὴ κληθὲν ὑπὸ σοῦ διετηρήθη; φείδῃ δὲ πάντων, ὅτι σά ἐστι, Δέσποτα φιλόψυχε. Τὸ γὰρ ἄφθαρτόν Σου πνεῦμά ἐστιν ἐν πᾶσι.

**Παροιμιῶν τὸ Ἀνάγνωσμα.**
**(Κεφ. ι´ 31 – ια´ 7).**

**Σ**τόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται. Χείλη ἀδρῶν δικαίων ἀποστάζει χάριτας, στόμα δὲ ἀσεβῶν ἀποστρέφεται. Ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον Κυρίου, στάθμιον δὲ δίκαιον δεκτὸν ἑαυτῷ. Οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία· στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν. Τελειότης εὐθέων ὁδηγήσει αὐτοὺς καὶ ὑποσκελισμὸς ἀθετούντων

προνομεύσει αὐτούς. Ἀποθανὼν δίκαιος ἔλιπε μετάμελον, πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ, δικαιοσύνη δὲ ῥύσεται ἀπὸ θανάτου. Δικαιοσύνη ἀμώμους ὀρθοτομεῖ ὁδούς, ἀσέβεια δὲ περιπίπτει ἀδικίᾳ. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύεται αὐτούς, τῇ δὲ ἀπωλείᾳ αὐτῶν ἁλίσκονται παράνομοι. Τελευτήσαντος ἀνδρὸς δικαίου οὐκ ὄλλυται ἐλπίς, τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

### Ἰδιόμελα.

**Ἦχος α΄.**

**Δ**εῦτε πιστοὶ εὐλαβῶς συνελθόντες
μεγαλύνωμεν τὸν τῆς ἐπὶ γῆς παρουσίας τοῦ Κυρίου Πρόδρομον
ὡς πηγὴν θαυμασίων καὶ κρουνὸν χάριτος
ἐν εὐλαβείᾳ λέγοντες·
Ὁ ἐξ ἐχθρῶν ἐπιβουλῆς διασώσας
τὸν φερώνυμόν σου Ναὸν ἐν Χίῳ
καὶ κατευφράνας πιστῶν τὰ συστήματα,
διάσωσον ἀπὸ κινδύνων
καὶ πάσης Ἄγαρ ἐκγόνων ἐπιβουλῆς τὰς τοῦ Αἰγαίου νήσους,
ἃς περιφρουρεῖ ἀγρύπνως ἡ χάρις σου.

**Ἦχος β΄.**

**Τ**ὸν μείζονα ἐν γεννητοῖς γυναικῶν,
κατὰ τὰ ἄψευστα τοῦ Κυρίου χείλη,
Ἰωάννην τιμήσωμεν τὸν ἀγγελόβιον,
ὡς προστάτην ἐν κινδύνοις τῶν χριστωνύμων
ἐν κατανύξει ψάλλοντες·
Ὁ καταδείξας τὴν χάριν σου ἐν Χίῳ
διὰ τῆς διασώσεως τοῦ Ναοῦ σου ἐκ βεβηλώσεως τῶν ἀπίστων,
μὴ παύσῃ δεόμενος τοῦ Κυρίου τῆς χάριτος
ὑπὲρ τῶν τιμώντων πληθὺν τῶν θαυμασίων σου.

**Ἦχος γ΄.**

**Δ**ιὰ τῆς ἀγρύπνου σου χάριτος, Τίμιε Πρόδρομε,
ὁ ἀψάμενος τὴν ἀκήρατον κορυφὴν τοῦ Δεσπότου,
πολλὰ κατίδομεν γενόμεθα θαύματα,
ὡς αὐτὸ τῆς ἐν Χίῳ διασώσεως τοῦ Ναοῦ σου

ἐκ τῆς ἐπιβουλῆς τῶν ἀπίστων·
ὅθεν ἀξίως μακαρίζοντές σε
τὰς εὐχάς σου πρὸς Κύριον αἰτούμεθα,
τὸν δωρούμενον πᾶσι τὸ μέγα καὶ πλούσιον ἔλεος.

**Ἦχος δ΄.**

Ὡς κανόνα καὶ γνώμονα συνέσεως
καὶ εἰκόνα ἐνθέου φρονήσεως τιμῶμέν σε,
Ἰωάννη, χαριτώνυμε Πρόδρομε,
καὶ ἐν κατανύξει βοῶμέν σοι·
Βροντὴ ἠχηρὰ ταπεινώσεως καὶ σκληραγωγίας
καὶ στακτὴ εὐώδης μοναδικῆς ἀσκήσεως,
ὁ ἀεὶ πιστοὺς ἐξ ὕψους εὐκλείας σου ἐποπτεύων καὶ ἁγιάζων,
τοὺς ματαίους ἡμῶν λογισμοὺς διόρθωσον
καὶ σῶσον ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

**Δόξα. Ἦχος ὁ αὐτός.**

Χίος ἡ μυροβόλος καὶ εὔανδρος
μακαρίζει σε εἰς τοὺς αἰῶνας, τίμιε Πρόδρομε,
οὐ μόνον ὡς Βαπτιστὴν Κυρίου καὶ μετανοίας κήρυκα,
ἀλλὰ καὶ ὡς τοῦ ἐν αὐτῇ Ναοῦ σου διάσωσμα·
μὴ οὖν παύσῃ θεόθεν αὐτὴν περισκέπων
καὶ ῥυόμενος ἐπιβουλῆς ἀλλοπίστων,
ὡς παῤῥησίαν ἔχων πρὸς Κύριον,
τὸν σῴζοντα ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.** Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου...

**Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.**

Χαίροις, ὁ τοῦ Σωτῆρος Χριστοῦ
παρὰ τὰ ῥεῖθρα Ἰορδάνου ἁψάμενος
τὴν ἄχραντον, Ἰωάννη,
καὶ σεβαστὴν κορυφήν,
Προφητῶν Προφῆτα,
θεῖε Πρόδρομε,
ὁ δείξας τὴν χάριν σου
ἐν τῇ Χίῳ ἐν ἔτεσιν
αὐτῆς δουλείας

εἰς τῆς Ἄγαρ τὰ ἔκγονα,
ὅτε, Ἅγιε,
πονηρῶς ἠβουλήθησαν
οὗτοι Ναόν σου πάνσεπτον
μολύναι καὶ τέμενος
αὐτὸν ποιῆσαι ταχέως
δι' ἀπωλείας εἰς θάνατον
αὐτοὺς ὁδηγήσας,
ὑβριστὰς Θεοῦ τοῦ Λόγου,
Ὅνπερ ἐβάπτισας.

**Στίχος.** Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

**Δ**εῦτε, τῶν Χίων πάντων χοροὶ
ἐγκωμιάσωμεν τὸν Τίμιον Πρόδρομον,
τὸν μείζονα Ἰωάννην
ἐν γεννητοῖς γυναικῶν,
Προφητῶν Προφήτην,
θεῖον Μάρτυρα,
Ἀπόστολον ἔνδοξον
καὶ θαυμάτων πολύῤῥυτον
ὄντως χειμάῤῥουν,
παραδόξως ὀλέσαντα
τὴν πεντάριθμον
δυσσεβούντων ὁμήγυριν
μεταποιῆσαι Οἶκόν σου
εἰς τέμενος θέλουσαν
καὶ καθυβρίσαι σὴν χάριν,
ἰσχὺν καὶ δύναμιν ἔχουσαν
τροπῶσαι ἐκγόνους
Ἄγαρ καὶ πιστοῖς βραβεῦσαι
χαρὰν ἀέναον.

**Στίχος.** Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.

**Χ**αίροις, τῶν εὐσεβῶν ἀρωγός,
ἐν Ἀτσικῇ Ναοῦ σεπτοῦ φερωνύμου σου
ὑπέρμαχος νήσου Χίου,
Λόγου Θεοῦ Βαπτιστά,
ὁ πολίσας ῥεῖθρα
ἰορδάνεια

καὶ τρέμων ἀψάμενος
κορυφὴν τὴν ἀκήρατον
Αὐτοῦ ἐλθόντος
εἰς τὴν γῆν σῶσαι μέροπας
καὶ τὸ φύραμα
ἀνυψῶσαι τὸ βρότειον
εἰς οὐρανῶν σκηνώματα,
πανύμνητε Πρόδρομε,
ὁ διασώσας ἐν Χίῳ
ἐξ ἐπιβούλων τὸν Οἶκόν σου,
καὶ τάχος ὀλέσας
τοὺς ἐχθρῶν ἡμῶν ἀμώμου
καὶ θείας πίστεως.

**Δόξα. Ἦχος δ΄.**

Ὁ τὴν μετάνοιαν κηρύξας
καὶ καταδείξας πᾶσι τὴν χάριν σου,
Ἰωάννη Πρόδρομε,
θαυμασίων αὐτουργὸς γέγονας·
ὅθεν πάντες οἱ ἐν Χίῳ οἰκοῦντες
ὡς τοῦ Ναοῦ σου ὑπέρμαχον μεγαλύνοντες
καὶ ὀλέτην τῶν ἀπογόνων τῆς Ἄγαρ,
τὰς εὐχάς σου αἰτούμεθα
πρὸς ἀρετῆς ὁλοκλήρωσιν καὶ ζωὴν τὴν αἰώνιον.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι...

Νῦν ἀπολύεις....**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον·**

**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Ἐκ βεβήλων Ναόν σου χειρῶν διέσωσας
Ἄγαρ ἐκγόνων ἐν Χίῳ,
Λόγου Θεοῦ Βαπτιστά,
Ἰωάννη, μετανοίας κῆρυξ, Πρόδρομε,
καὶ ἐπιβούλους δυσσεβεῖς
τούτου ὤλεσας ταχὺ
σῇ χάριτι παραδόξως,
ὁ διασῴζων εὐχαῖς σου
ἐκ συμφορῶν τοὺς ἀνυμνοῦντάς σε.

**Θεοτοκίον.**

Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος....

**Ἀπόλυσις.**

# ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α´ Στιχολογίαν Κάθισμα.**

**Ἦχος α´. Τὸν τάφον Σου, Σωτήρ.**

Ἀγάλλεται τῇ σῇ
μυστικῇ ἐπεμβάσει
καὶ χαίρει καὶ σκιρτᾷ
σῇ θερμῇ ἀντιλήψει
ἡ Χίος ἡ εὔσημος,
Βαπτιστὰ ἀγγελόβιε,
Κτίστου Πρόδρομε,
ἧς ἐξ ἀπίστων Ναόν σου
βεβηλώσεως
ἔσωσας χάριτι, μάκαρ,
σῇ θείᾳ φερώνυμον.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τὸν Πρόδρομον Υἱοῦ
σοῦ σεπτοῦ παρουσίας,
Παρθένε, ἐπὶ γῆς
καὶ Θεοῦ θείου Λόγου
ἐκθύμως γεραίροντες
σὲ λαμπρῶς μακαρίζομεν,
παντευλόγητε
Θεογεννήτρια Μῆτερ,
ὡς προσφύγιον
τῶν τρυχομένων ἐν βίῳ
καὶ κόσμου διάσωσμα.

**Μετὰ τὴν β´ Στιχολογίαν Κάθισμα.**
**Ἦχος δ´. Ἐπεφάνης σήμερον.**

Ἰωάννη Πρόδρομε,
σεπτὸν Ναόν σου
ἐν τῇ Χίῳ ἔσωσας
ἐπιβουλῆς ἐξ ἀσεβῶν,
ὧν στέγας πύργου ἐκρήμνισας
ἰθύνων τάχος
αὐτοὺς εἰς ἀπώλειαν.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τοῦ Υἱοῦ σου Πρόδρομον
ἀνευφημοῦντες,
Παναγία Δέσποινα,
Νεαμονήτισσα σεμνή,
ὡς Χίου σε μεγαλύνομεν
φρουρὸν καὶ σκέπην
καὶ ἄγρυπνον φύλακα.

**Μετὰ τὸν Πολυέλεον Κάθισμα. Ἦχος γ´. Τὴν ὡραιότητα.**

Ναὸν διέσωσας, Τίμιε Πρόδρομε,
ἐν Χίῳ πάνσεπτον σοῦ τὸν φερώνυμον
ἐν τῇ ἡμέρᾳ ἑορτῆς τῆς μνήμης σου τῆς ἁγίας
καὶ ταχὺ ἀπώλεσας τοὺς βεβήλους σῆς χάριτος
διὰ τῆς συνάξεως οἴκου κατακρημνίσεως
αὐτῶν τῆς στέγης· ὅθεν βοῶμεν· Χαῖρε, ὀλέτα τῶν ἀπίστων.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς Χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

**Τὸ α´ Ἀντίφωνον τοῦ δ´ ἤχου καὶ τὸ Προκείμενον·**
Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

**Στίχος.** Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος...

**Εὐαγγέλιον· Κατὰ Λουκᾶν. (Κεφ. α´ 39 - 56)**
Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα Μαριάμ.....
**(Ζήτει τῇ ιε´ Αὐγούστου).**

**Ὁ Ν´ Ψαλμός.**

**Δόξα.** Ταῖς τοῦ Σοῦ Προδρόμου, πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείας, Ἐλεῆμον....

**Ἰδιόμελον. Ἦχος πλ. β´.**

Τὸν ἐν Χίῳ διασώσαντα Ναὸν αὐτοῦ φερώνυμον
ἐξ ἐπιβουλῆς ἀπίστων,
θελόντων αὐτῶν εἰς τέμενος μετατρέψαι,
ὑμνήσωμεν Χριστοῦ τῆς ἐπὶ παρουσίας Πρόδρομον
ἐν εὐλαβείᾳ λέγοντες·
Τῶν εὐσεβῶν ἀντιλῆπτορ καὶ ὀλετὴρ τῶν ἀπίστων,
ὁ ἀφανίσας πᾶν ἴχνος τολμητιῶν ὑβρισμοῦ σου,
ἀξίωσον ἡμᾶς ὑμνεῖν και δοξάζειν σε,
τὸν πρεσβεύουντα Κυρίῳ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

**Εἶτα ὁ Κανών τοῦ Προδρόμου, οὗ ἡ Ἀκροστιχίς·**

**" Πρόδρομον μεγαλύνω, δυσσεβῶν ὀλέτην. Χ."**

**Ὠδὴ α´. Ἦχος δ´. Ἀνοίξω τὸ στόμα μου.**

Προδρόμου θαυμάσια
τοῦ Βαπτιστοῦ μεγαλύνωμεν
τοῦ Λόγου τοῦ Κτίσαντος
ἐπιβουλῆς ἐξ ἐχθρῶν
διασώσαντος
Ναὸν αὐτοῦ ἐν Χίῳ
πιστῶν ὁμηγύρεως
πρὸς ἀγαλλίασιν.

Ῥεόντων ὑπέρτερον
καὶ θαυμασίων τὸν πρόξενον

ἐκθύμως τιμήσωμεν,
ὡς ἐξ ἐχθρῶν δυσσεβῶν
διασώσαντα
Ναὸν ἐν νήσῳ Χίῳ
αὐτοῦ τὸν φερώνυμον,
Τίμιον Πρόδρομον.

Ὁ στῦλος ὁ πάμφωτος
τῆς ἀρετῆς, θεῖε Πρόδρομε,
ἀκτῖσιν ἐφώτισας
καὶ θαυμασίων βολαῖς
τὴν ὑφήλιον
λαμπρῶς σε ἀνυμνοῦσαν
καὶ Χίον τιμῶσάν σε
ὕμνοις τὴν εὔανδρον.

**Θεοτοκίον.**

Δυνάμωσον, Δέσποινα,
τοὺς ἀδυνάτους οἰκέτας σου
ἐν πίστει εἰς Τόκον σου,
Λόγον Θεοῦ καὶ Θεὸν
τὸν εὐΐλατον,
Κυρία Θεοτόκε,
σεμνὴ ἀειπάρθενε,
Νεαμονήτισσα.

**Ὠδὴ γ´. Τοὺς σοὺς ὑμνολόγους.**

Ῥωννύμεθα πάντες οἱ ἐν Χίῳ
οἰκοῦντες Προδρόμου θαυμαστοῖς,
Ναὸν αὐτοῦ τοῦ σώσαντος
ἐξ ἐπιβούλων μήνιδος,
τῇ τοῦ Κυρίου χάριτι,
τοῦ ἐποπτεύοντος σύμπαντα.

Ὁ ῥύστης ἐχθρῶν ἐξ ἐπιβούλων
ἁπάντων πιστῶν Χριστιανῶν,
τὸν σὸν Ναὸν διέσωσας
ἐν Χίῳ, χαριτώνυμε,
ἐξ ἀπογόνων τάχιστα

τῆς Ἄγαρ, οὓς καὶ ἀπώλεσας.

Μαρτύρων καὶ προφητῶν ἀκρότης,
Χριστοῦ παρουσίας ἐπὶ γῆς
ὁ Πρόδρομος, ἐπάκουσον
ἡμῶν θερμῶν δεήσεων
καὶ ῥῦσαι πάντας θλίψεων
καὶ ἀνυποίστων στενώσεων.

**Θεοτοκίον.**

Οὐράνωσον φρόνημα σῶν δούλων
καὶ νέκρωσον τάχος σαρκικὰ
κινήματα, Μητρόθεε,
σεμνὴ Νεαμονήτισσα,
τῶν προστρεχόντων πάντοτε
τῇ ἀκλινεῖ προστασίᾳ σου.

**Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.**

Ὡς διέσωσας ἐξ ἐπιβούλων
σὸν φερώνυμον Ναὸν ἐν Χίῳ
καὶ αὐτοὺς κακῶς ἀπώλεσας, Πρόδρομε,
ῥῦσαι ἡμᾶς πειρασμῶν καὶ κακώσεων
τοὺς μεγαλύνοντας πόθῳ τὴν χάριν σου,
ἣν ἀπείληφας θεόθεν ὡς Μάρτυς ἔνδοξος,
Προφήτης, Ἰωάννη, καὶ Ἀπόστολος,

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Σκέπε, φύλαττε καὶ περιφρούρει
τοὺς οἰκέτας σου, Θεογεννῆτορ,
εὐλαβῶς σε μεγαλύνοντας πάντοτε
καὶ καταφεύγοντας βίου ἐν θλίψεσι
καὶ πειρασμοῖς καὶ κινδύνοις σῇ χάριτι,
Χίου καύχημα, Κυρία Νεαμονήτισσα,
ἁπάντων χριστωνύμων παραμύθιον.

**Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.**

Νίκας δίδου, Ἰωάννη,

www.tezaurliturgic.ro

Βαπτιστὰ τοῦ Παντάνακτος
τοῖς ἀνευφημοῦσι
χάριν σου τὴν ἄφθονον, Πρόδρομε,
ἣν τοῖς ἀπίστοις κατέδειξας, τοῖς θέλουσι
τὸν ἐν Χίῳ σου
Ναὸν ἁρπάσαι τὸν πάνσεπτον.

Μετανοίας, Ἰωάννη,
κεφαλότμητε Πρόδρομε,
κῆρυξ, τὸν Ναόν σου
ἔσωσας ἐν Χίῳ σῇ χάριτι
ἐκ τῶν ἐκγόνων τῆς Ἄγαρ, χαριτώνυμε,
οὕσπερ ὤλεσας
ὡς ἐπιβούλους τοῦ οἴκου σου.

Ἐξ ἑπτάδος τῶν ἀπίστων
παραδόξως ἀπώλεσας
πέντε ἐπιβούλους
σοῦ Ναοῦ ἐν Χίῳ μολύνσεως
δείξας σὴν χάριν τοῖς πᾶσι, θεῖε Πρόδρομε,
καὶ κατῄσχυνας
ἐχθρῶν ἀπίστων συστήματα.

**Θεοτοκίον.**

Γλυκασμέ, Θεογεννῆτορ,
τῶν ἀΰλων Δυνάμεων,
Κεχαριτωμένη,
τὰς ἡμῶν πικρίας διάλυσον,
μεγαλυνόντων Προδρόμου τὰ θαυμάσια
θείου Τόκου σου,
Παρθένε Νεαμονήτισσα.

**ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.**

Ἀγλάϊσμα, Πρόδρομε,
τῆς Χίου ἱερώτατον,
ἔσωσας ἐν Ἀτσικῇ Ναόν σου
ἐκ πλάνης Ἄγαρ
ἐπιβουλῆς τῶν υἱῶν,
οὓς ὤλεσας τάχος πρὸς χαρὰν

εὐσεβῶν καὶ δύναμιν
ἀσεβῶν θραῦσαι φρύαγμα.

Λιμένα σε ἔγνωμεν
ἀχείμαστον καὶ εὔδιον
πάντες οἱ ποντούμενοι ἐν βίῳ,
καὶ ἐξαιρέτως
ναυτίλων Χίων χοροί,
σεπτὲ τοῦ Ὑψίστου Βαπτιστά,
οὓς διὰ τοῦ οἴκου σου
διασώσεως ηὔφρανας.

Ὑπέρτιμε Πρόδρομε,
οἱ εὐσεβεῖς τὴν χάριν σου
μέλπομεν ἐν Χίῳ, Ἰωάννη,
ὅτι Ναόν σου
τὸν ἐν αὐτῇ θαυμαστῶς
διέσωσας ἐξ ἐπιβουλῆς
τῶν ἐχθρῶν, εἰς θάνατον
οὓς παρέδωκας τάχιστα.

**Θεοτοκίον.**

Ναὲ ἀχειρότευκτε
τοῦ Ποιητοῦ τῆς κτίσεως,
Κεχαριτωμένη Θεοτόκε,
Ναοῦ σωτῆρος
τοῦ φερωνύμου αὐτοῦ,
Προδρόμου ἐν Χίῳ σοῦ Υἱοῦ,
προσευχαῖς διάσωσον
τοὺς λαμπρῶς εὐφημοῦντάς σε.

**ᾨδὴ στ´. Τὴν θείαν ταύτην.**

Ὡς Χίου νήσου διάσωσμα
Ναοῦ τοῦ φερωνύμου σου, Πρόδρομε,
σὲ μακαρίζομεν,
τὸν Ἀτσικὴν ὡραΐζοντα,
οὗ ἐπιβούλους χάρις
ἡ σὴ ἀπώλεσεν.

www.tezaurliturgic.ro

Δυνάμει χάριτος θείας σου
Ναόν σου ἐν τῇ Χίῳ διέσωσας,
Τίμιε Πρόδρομε,
καὶ κατηγλάϊσας ἅπαντας
τῶν εὐσεβῶν χορείας,
νῦν μελῳδούντων σε.

Ὑμνεῖν ἀξίωσον, Πρόδρομε,
ἡμᾶς σε ὡς Ναοῦ σου διάσωσμα,
τοῦ ἀγλαΐζοντος
τὴν Ἀτσικὴν Χίου, πάντιμε,
ἐξ ἐπιβούλων τούτου
ἐχθρῶν τῆς πίστεως.

**Θεοτοκίον.**

Σκηνὰς πρὸς πόλου κατεύθυνον
τοὺς δούλους σου, ἁγνὴ ἀειπάρθενε,
Θεογεννήτρια,
τοὺς ἀνυμνοῦντας θαυμάσια
Προδρόμου τοῦ Υἱοῦ σου
καὶ Παντοκράτορος.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Φερώνυμόν σου ἐν τῇ Χίῳ, χαριτώνυμε,
ἐκ δυσσεβῶν Ναὸν ἐφύλαξας ἀλώβητον
ἀπογόνων Ἄγαρ, πάντιμε Ἰωάννη,
καὶ αὐτοὺς σῇ θείᾳ χάριτι ἀπώλεσας
πρὸς ἁπάντων Χριστωνύμων ἀγαλλίασιν·
ὅθεν κράζομεν· Χαίροις, Τίμιε Πρόδρομε.

**Ὁ Οἶκος.**

Ἄγγελε σαρκοφόρε,
Βαπτιστὰ Ἰωάννη,
διάσωσμα ἐν Χίῳ Ναοῦ σου,
μὴ ἐλλείπῃς θεόθεν ἡμᾶς
ἐποπτεύων, σκέπων καὶ φρουρῶν, Πρόδρομε,
τοὺς ὑμνητὰς θαυμάτων σου,

www.tezaurliturgic.ro

σπευδόντων σοι βοῆσαι ταῦτα·

Χαῖρε, ὁ κῆρυξ τῆς μετανοίας·
χαῖρε, ὁ ὅρπηξ τῆς εὐσεβείας.

Χαῖρε, τοῦ Χριστοῦ παρουσίας ὁ Πρόδρομος·
χαῖρε, τοῦ ἐχθροῦ δολιότητος ὄνειδος.

Χαῖρε, ξένως ὅτι ὤλεσας ἐπιβούλους σοῦ Ναοῦ·
χαῖρε, τάχος ὅτι ηὔφρανας Χίους δούλους τοῦ Θεοῦ.

Χαῖρε, ὁ ἀποκτείνας δυσσεβῶν τὴν χορείαν·
χαῖρε, ὁ καταστείλας τῶν ἀπίστων μανίαν.

Χαῖρε, Θεοῦ τοῦ Λόγου ὁ Πρόδρομος·
χαῖρε, Αὐτοῦ εὐκλείας ἰσότιμος.

Χαῖρε, τῆς Χίου ὁ τάχιστος ῥύστης·
χαῖρε, τοῦ δήμου βροτῶν ὁ ἐπόπτης·

Χαίροις, Τίμιε Πρόδρομε.

**Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ΚΣΤ´ Μαΐου. Εἶτα λέγομεν·**

Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τοῦ γενομένου θαύματος τῆς διασώσεως ἐκ δυσσεβῶν ἐπιβούλων ἐν Χίῳ ὑπὸ τοῦ Τιμίου Προδρόμου τοῦ φερωνύμου αὐτοῦ Ναοῦ.

**Στίχοι.**

**Ν**αόν σου ἔσωσας ἐκ χειρῶν ἀδίκων
ἐν Χίῳ, Πρόδρομε Ἰωάννη, ξένως.

**Συναξάριον.**

**Ὁ** τίμιος τοῦ Κυρίου Πρόδρομος, ὁ μέγιστος τῶν Προφητῶν, ὁ Μάρτυς καὶ Βαπτιστὴς τοῦ Θεανθρώπου, ὁ ἐπίγειος Ἄγγελος καὶ τοῦ Ἰορδάνου ὁ πολιστὴς τῆς ἐρήμου, ὁ ἐξ ὀσφύος Ζαχαρίου προελθὼν καὶ ἀνοίξας μήτραν τῆς στείρας καὶ προβεβηκυίας τῇ ἡλικίᾳ Ἐλισάβετ, ἐγεννήθη κατ' ἐπαγγελίαν θείαν, ἣν ὁ Ἀρχάγγελος Γαβριὴλ τῷ Ἀρχιερεῖ Ζαχαρίᾳ ἀνήγγειλεν. Ἀσκητεύσας οὗτος ἐν ἐρήμῳ τοῦ Ἰορδάνου καὶ ἐσθίων ἀκρῖδας καὶ μέλι ἄγριον ἠξιώθη βαπτίσαι τὸν Κύριον τῆς δόξης τρέμων τῇ χειρὶ καὶ ἰδεῖν τὴν Ἁγίαν Τριάδα ἐν τῇ ὥρα τῆς βαπτίσεως τοῦ Θεοῦ Λόγου, τὸν Πατέρα λέγοντα,

«Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός» καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς καθήμενον ἐπὶ τῆς κεφαλῆς Αὐτοῦ.

Μὴ φέρων ὁ Πρόδρομος την παράνομον μῖξιν τοῦ βασιλέως Ἡρῴδου μετὰ τῆς γυναικὸς τοῦ ἀδελφοῦ αὐτοῦ Ἡρῳδιάδος, ἤλεγξε τὸν παρανομήσαντα βασιλέα, ὃς μὴ ἀνεχόμενος τοὺς αὐτοῦ ἐλέγχους εἱρκτῇ ἐνέκλεισε αὐτὸν καὶ ἐν τέλει ὑποκύψας τῇ ἀνόμῳ τῆς Ἡρῳδιάδος αἰτήσει τὴν κεφαλὴν αὐτοῦ ἀπέταμεν. Τὸ τίμιον αὐτοῦ σκήνωμα οἱ μαθηταὶ αὐτοῦ ἔθαψαν ἐντίμως ἐν τῇ πόλει Σεβαστῇ. Ἀργότερον αὐτὸ μετεκομίσθη εἰς Ἀντιόχειαν, πολλὰ ἐπιτελὸν θαύματα.

Ἐν τῇ νήσῳ Χίῳ ὁ μείζων ἐν γεννητοῖς γυναικῶν κατέδειξε τὴν οἰκοῦσαν ἐν αὐτῷ χάριν ὅτε οἱ ἐπαίσχυντοι ἔκγονοι τῆς Ἄγαρ ἠβουλήθησαν τὸν φερώνυμον αὐτοῦ Ναὸν μεταποιῆσαι εἰς τέμενος. Οὕτως ἐν ἔτει 1740 οὗτοι, πέντε ἐκ τοῦ ἀριθμοῦ τῶν ἑπτὰ συναχθέντων, τὸν ἐν Ἀτσικῇ Ναὸν τοῦ Προδρόμου ἐγγὺς ὄντα τῶν αὐτῶν πύργων ἀπεφάσισαν νομίμως μετατρέψαι εἰς τέμενος. Πρὸς τοῦτο ἀπέστειλον ἐπιστολὰς εἰς τὴν βασιλικὴν αὐλὴν διὰ πλοίου. Οἱ δύο ἐξ αὐτῶν ἔχοντες ἀντίθετον γνώμην ἠμπόδιζον τοὺς λοιποὺς τοιοῦτον ἐγχείρημα φέρειν εἰς πέρας.

Τὴν ἑσπέραν τῆς παραμονῆς τῆς ἑορτῆς τοῦ Τιμίου Προδρόμου ἐγένετο σεισμὸς ἐν τῷ Ναῷ αὐτοῦ πρὸς ἔνδειξιν τῆς ἐν αὐτῷ τοῦ Βαπτιστοῦ παρουσίας. Τὴν ἐπερχομένην νύκτα οἱ πέντε ἐπίβουλοι συνήχθησαν ἐν τῷ πύργῳ αὐτῶν ἀγαλλόμενοι καὶ φλυαροῦντες περὶ τῆς αὐτῶν ὑποθέσεως. Ὁ εἷς ἀντίθετον ἐκφέροντα γνώμην οὐκ ἠκολούθησεν αὐτοῖς. Ὁ ἕτερος ἀντιλέγων τῇ αὐτῶν βουλῇ ἦν μετ' αὐτῶν. Αἴφνης αἱ ὀροφαὶ τοῦ πύργου ἐκρημνίσθησαν καὶ μόνον αὐτοὺς ἀπώλεσαν τοὺς λοιποὺς ἐν τῷ πύργῳ ἀσινεῖς τηρήσασαι. Ὡς ἐκ θαύματος καὶ ὁ ἀντιλέγων αὐτοῖς ἐκαλύφθη ὑπὸ πλακὸς εἰς σχῆμα γωνίας καὶ διεσώθη. Ἐν ταὐτῷ καὶ τὸ πλοῖον κομίζων τοῖς βασιλείοις τὰς ἐπιστολὰς αὐτῶν τῶν ἐπιβούλων ἐμπεσὼν εἰς δίνην αὐτάνδρον κατῆλθεν εἰς τὸν βυθὸν τῆς θαλάσσης καὶ οὕτω ὁ Ναὸς τοῦ Προδρόμου διεσώθη αὐτοῦ τῇ χάριτι.

Ταῖς τοῦ Σοῦ Προδρόμου ἁγίαις πρεσβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.**

**Σ**ὲ διάσωσμα
ἀνεῦρε Χίος, Πρόδρομε,
ὅτι ἀπώλεσας

τοὺς ἐπιβούλους Ναοῦ
σεπτοῦ σου, ὢ θαύματος,
διὰ κρημνίσεως
στέγης, ἔνθεε,
αὐτῶν πύργου συνάξεως
καὶ βυθίσεως τοῦ πλοίου.

Ἐπαγάλλεται
ἡ Χίος τῇ σῇ χάριτι,
Τίμιε Πρόδρομε,
καὶ τὴ σὴν μνήμην λαμπρῶς
τιμᾷ τὴν πανεύφημον,
ὅτι διέσωσας,
χαριτώνυμε,
Ναόν σου τὸν φερώνυμον
ἐν αὐτῇ ἐξ ἀλλοτρίων.

Βεβηλώσεως
ἐξ ἐχθρικῆς διέσωσας
Ναόν σου, Πρόδρομε,
βυθίζων πλοῖον αὐτῶν
εἰς θάλασσαν αὔτανδρον
καὶ τῆς συνάξεως
πύργον τάχιστα
αὐτῶν κρημνίζων, ἄγρυπνε
ὑφηγῆτορ μετανοίας.

**Θεοτοκίον.**

Ὡς ἀνύστακτον
προστάτιν σε γεραίρομεν,
Θεογεννήτρια,
καὶ ἀρωγὸν ταχινὴν
σῶν δούλων ἐν θλίψεσι
καὶ ἐν στενώσεσι
βίου, Δέσποινα,
σπευδόντων τῇ σῇ χάριτι
καὶ ἀόκνῳ ἀντιλήψει.

**Ὠδὴ η´. Παῖδας εὐαγεῖς.**

Νῦν τῶν εὐσεβούντων Χίων δῆμοι
θαυμάσια τοῦ Προδρόμου μεγαλύνωμεν,
Βαπτιστοῦ τοῦ Κτίσαντος,
εὐλαβῶς κραυγάζοντες·
Ὁ διασώσας τάχιστα
Ναόν σου πάγκαλον
ἐχθρῶν ἐξ ἐπιβούλων μανίας,
ἐκ τοῦ ἀλλοτρίου
ἡμᾶς κακίας ῥῦσαι.

Ὅτε οἱ ἐπίβουλοι Ναοῦ σου
εἰργάζοντο τὴν μετασκευὴν εἰς τέμενος
τούτου, θεῖε Πρόδρομε,
τότε πᾶσι δύναμιν
κατέδειξας τὴν θείαν σου
φρικτὸν εἰς θάνατον
ταχέως παραδούς, Ἰωάννη,
τούτους πρὸς αἰσχύνην
τῶν δυσσεβῶν ἐν Χίῳ.

Λάμπων ἀστραπαῖς σῶν θαυμασίων
ἐφώτισας νήσου Χίου εὐσεβόφρονας,
Πρόδρομε τοῦ Κτίσαντος,
Ἰωάννη ἔνδοξε,
καὶ δυσσεβεῖς ὡδήγησας
φθορᾶς εἰς ζόφωσιν
καὶ σκότος τὸ αἰώνιον τάχος,
μετανοίας κῆρυξ,
αὐτῶν δι’ ἀπωλείας.

**Θεοτοκίον.**

Ἔκτεινον τὴν χεῖρά σου θεόθεν
καὶ πάντας τοὺς ἀνυμνοῦντάς σε εὐλόγησον,
Παναγία Δέσποινα,
Μῆτερ Λόγου Κτίσαντος,
Προδρόμου παρακλήσεσι
τοῦ διασώσαντος
φερώνυμον Ναὸν ἐν τῇ Χίῳ
τούτου θαυμασίως,

ὑπερευλογημένη.

**Ὠδὴ θ΄. Ἅπας γηγενής.**

Τίμιε Χριστοῦ,
Θεοῦ Λόγου Πρόδρομε,
σὲ μεγαλύνοντες
μελιχροῖς μελίσμασιν
οἱ ἐνοικοῦντες
Χίον τὴν εὔανδρον
Ναοῦ ὡς φερωνύμου σου
σεπτοῦ διάσωσμα
σὲ ὑμνοῦμεν,
Βαπτιστά, τοῦ Κτίσαντος
κορυφὴν τὴν σεπτὴν ὁ ἁψάμενος.

Ἡ τῶν εὐσεβῶν
ἐν Χίῳ ὁμήγυρις
πανηγυρίζουσα
σήμερον, ἰσάγγελε,
ὑμνεῖ σὴν χάριν,
Κυρίου Πρόδρομε,
ὅτι Ναόν σου ἔσωσας
τὸν πανσεβάσμιον
ἐκ μανίας
τῶν ἐχθρῶν τῆς πίστεως
θαυμαστῶς, Ἰωάννη ἰσάγγελε.

Νίκας τῷ λαῷ
Θεοῦ ἐπιβράβευσον,
Τίμιε Πρόδρομε,
τῷ ἐν Χίῳ σπεύδοντι
ἐγκωμιάσαι
τὰ σὰ θαυμάσια
καὶ χάριν σου τὴν ἄφθονον,
ἣν Χίοις ἔδειξας,
ὅτε τάχος
ἀσεβεῖς ἀπώλεσας,
ἐπιβούλους Ναοῦ φερωνύμου σου.

**Θεοτοκίον.**

Χάριτος κρουνέ,
μνημόνευε δούλων σου,
Θεογεννήτρια,
ἐκτενῶς τὸν Τόκον σου
δοξολογούντων
τὸν ὑπεράγιον
καὶ ἀνυμνούντων πέλαγος
τῶν θαυμασίων σου,
θεία σκέπη,
ἀρωγὲ καὶ στήριγμα
τῶν σπευδόντων ἀεὶ τῇ σῇ χάριτι.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

Ναόν σου τὸν φερώνυμον
ἐν Χίῳ νήσῳ, Πρόδρομε,
οὐκ ἔασας εἰς ἐκγόνων
πεσεῖν τὰς χεῖρας τῆς Ἄγαρ,
ἀλλ' ἔσωσεν ἡ χάρις σου
αὐτὸν καὶ εἰς ἀπώλειαν
ὤθησε τούτους τάχιστα
διὰ σεισμοῦ γενομένου
μόνον αὐτῶν εἰς τὸν πύργον.

**Θεοτοκίον.**

Ἐπάκουσον δεήσεων
ἡμῶν, Θεογεννήτρια,
σοῦ εὐλαβῶς δεομένων
καὶ ῥῦσαι βλάβης σοὺς δούλους
και συμφορῶν καὶ θλίψεων
τοὺς πίστει εὐφημοῦντάς σε,
σεμνὴ Νεαμονήτισσα,
τῆς Χίου σέμνωμα θεῖον
καὶ ἀντιλῆπτορ ταχίστη.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**
**Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων**

Δεῦτε πιστοὶ συναχθέντες
πανδήμως σήμερον
ἐν Χίῳ εὐσχημόνως
Βαπτιστὴν τοῦ Κυρίου
τιμήσωμεν καὶ μνήμην τῆς ὑπ' αὐτοῦ
τοῦ Ναοῦ διασώσεως
ἐκ δυσσεβῶν ἐπιβούλων αὐτοῦ λαμπρῶς
οἱ πιστοὶ ἐπιτελέσωμεν.

Ὁ κορυφὴν τοῦ Δεσπότου
Χριστοῦ ἀψάμενος
ἐν ῥείθροις Ἰορδάνου,
Βαπτιστὰ Ἰωάννη,
διέσωσας ἐν Χίῳ σοῦ τὸν Ναὸν
τὸν φερώνυμον, Πρόδρομε,
καὶ τοὺς αὐτοῦ ἐπιβούλους ὑπερφυῶς
τῇ σῇ χάριτι ἀπώλεσας.

Τοὺς ἐπιβούλους τῆς Ἄγαρ
Ναοῦ σου, Πρόδρομε,
ἐκγόνους ὑπὲρ λόγον
ἐθανάτωσας, μάκαρ,
ἐν Χίῳ τῇ τιμώσῃ μνήμην τὴν σὴν
εὐλαβῶς, χαριτώνυμε,
τῆς ἐπὶ γῆς παρουσίας Λόγου Θεοῦ
καὶ ἡμῶν Σωτῆρος Πρόδρομε.

Ἐν πύργῳ Χίου ἀπίστων
ἐσμοῦ συνάξεως
Ναοῦ σου ἐπιβούλων
θαυμαστῶς, Ἰωάννη,
ἀπώλεσας χειρί σου τῇ ἱερᾷ
τούτους, Τίμιε Πρόδρομε,
τῇ ἀψαμένῃ Κυρίου τὴν κορυφὴν
Ἰορδάνου ἐν τοῖς ῥεύμασι.

**Δόξα.** **Ἦχος πλ. α΄.**

Ἡ πανσθενὴς χάρις σου, Ἰωάννη Πρόδρομε,
πρὸς αἰσχύνην τῶν ἀπίστων καὶ πιστῶν ἀγαλλίασιν
ἀπώλεσεν ἐν Χίῳ τοὺς ἐπιβούλους τοῦ Ναοῦ σου
ὑπὲρ λόγον καὶ ἔννοιαν·
ὅθεν αὐτοῦ τοῦ θαύματος μνείαν ποιούμενοι
σὲ ἀκλινῶς, χαριτώνυμε, μακαρίζομεν,
τὸν πρεσβεύοντα ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.** Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

**Δοξολογία Μεγάλη καὶ 'Απόλυσις.**

# ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙᾼ

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Προδρόμου ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.**

**Ἀπόστολος· Πρὸς Γαλάτας (Κεφ. δ΄ 22-27).**
**Εὐαγγέλιον· Κατὰ Λουκᾶν (Κεφ. α΄ 5-25).**

**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.**

**Μεγαλυνάριον.**

Ἐκ χειρῶν διέσωσας δυσσεβῶν
σὸν Ναὸν ἐν Χίῳ,
θεῖε Πρόδρομε τοῦ Χριστοῦ.
καὶ τοὺς ἐπιβούλους
ἀπώλεσας ταχέως
αὐτοῦ τῇ χάριτί σου,
φύλαξ προσφύγων σου.

**Τρισσεῦον Κύριε Ἐλέησον Λιτῆς Ἁγίου Ὄρους.**

***Ἰωάννη Πρόδρομε,**** **ὡς Ναόν σου ἔσωσας*** ***ἐν τῇ Χίῳ*** **σῶσόν με.**

Δίστιχον.

Περιάνδρου καὶ Αἰκατερίνης χάριν
Προδρόμου θαῦμα ὕμνησε Χαραλάμπης.